# ΦΙΛΕΑΤΙΝΑ ΛΙΜΝΗ

Ἐπὶ Οὐαλεριανοῦ καὶ Γαλλιηνοῦ

Τῶν δὲ ὁμορούντων Σκυθῶν θεασαμένων τὸν πλοῦτον ὃν ἐπεφέροντο, καὶ εἰς ἐπιθυμίαν ἐλθόντων τοῦ δρᾶσαι τὰ παραπλήσια, πλοῖα κτλ. … κατεσκεύαζον, τῶν συνόντων αὐτοῖς αἰχμαλώτων … ἢ ἄλλως κατ' ἐμπορίαν ἐπιμιγνυμένων ὑπουργησάντων εἰς τὴν τούτων δημιουργίαν.

Ἀναμείναντες δὲ τὸν χειμῶνα, τὸν Εὔξεινον πόντον ἐν ἀριστερᾷ καταλιπόντες, … τῆς πεζῆς δυνάμεως αὐτοῖς διὰ τῶν ἠιόνων κατὰ τὸ … παρεῖκον συμπαραθεούσης, Ἴστρον καὶ Τομέα καὶ Ἀγχίαλον κατὰ τὸ δεξιὸν παραμείψαντες μέρος … ἐπὶ τὴν Φιλεατίναν ἐνέβαλλον λίμνην, ἣ κατὰ … τὰς δυτικὰς τροπὰς Βυζαντίου πρὸς τῷ Πόντῳ κεῖται.

Γνόντες δὲ τοὺς ταύτην ἁλιέας ἐν τοῖς ἕλεσι τοῖς ἐπικειμένοις τῇ λίμνῃ μετὰ τῶν ὄντων αὐτοῖς πλοίων ἀποκρυβέντας, ὁμολογίᾳ παρασκευάσαντες καὶ τὴν πεζὴν δύναμιν ἐμβιβάσαντες ἐπὶ τὸν διὰ τοῦ πορθμοῦ τοῦ μεταξὺ Βυζαντίου καὶ Χαλκηδόνος ἐχώρουν … πλοῦν. Οὔσης δὲ φυλακῆς ἔν τε αὐτῇ Χαλκηδόνι καὶ μέχρι τοῦ ἱεροῦ τοῦ … πρὸς τῷ στόματι τοῦ Πόντου πολλῷ … τοὺς ἐπιόντας ὑπεραιρούσης, οἱ μὲν τῶν στρατιωτῶν ἀνεχώρησαν ὑπαντῆσαι … δῆθεν τῷ … πεμφθέντι παρὰ βασιλέως ἡγεμόνι βουλόμενοι, οἱ δὲ εἰς τοσοῦτον … κατέδυσαν δέος ὥστε ἅμα τῇ … ἀκοῇ προτροπάδην φυγεῖν. Οὗ δὴ γενομένου ἅμα τε … ἐπεραιώθησαν οἱ βάρβαροι, καὶ Χαλκηδόνα μηδενὸς … ἀντιστάντος εἷλον κτλ.

Ζωσίμου, κόμητος καὶ ἀποφισκοσυνηγόρου· Ἱστορίας Νέας Βιβλία Ἕξ. Βιβλίον Α'. 34

in Corpus Scriptorum Historiae Byzantinae τόμος 7ος Bonnae 1837. σ. 33.

Φιλεατίνα λίμνη

> Ζωσίμου: (Κόμητος καὶ ἀπὸ φισκοσυνηγόρου): Ἱστορίας Βιβλίον Α΄. 34, 35, 36

Α. 253. (Βαλεριανὸς καὶ Γαλλιηνός) ... Τῶν δὲ ὁμορούντων Σκυθῶν θεασαμένων τὸν πλοῦτον ὃν ἐπηγάγοντο, καὶ εἰς ἐπιθυμίαν ἐλθόντων τοῦ δρᾶσαι τὰ παραπλήσια ... ἀναμείναντες τὸν χειμῶνα, τὸν Εὔξεινον πόντον ἐν ἀριστερᾷ καταλιπόντες, τῆς πεζῆς δυνάμεως αὐτοῖς διὰ τῆς ἠπείρου κατὰ τὸ παρεῖκον συμπαραθεούσης, Ἴστρον καὶ Τομέα καὶ Ἀγχίαλον κατὰ τὸ δεξιὸν παραμείψαντες μέρος ἐπὶ τὴν Φιλεατίναν ἔθυσαν λίμνην, ἣ κατὰ δυτικὰς τροπὰς Βυζαντίου πρὸς τῷ Πόντῳ διάκειται.

Γνόντες δὲ τοὺς ταύτης ἁλιέας ἐν τοῖς ἕλεσι τοῖς ἐπικειμένοις τῇ λίμνῃ μετὰ τῶν ὄντων αὐτοῖς πλοίων ἀποκρυβέντας, ὁμολογίᾳ παραστησάμενοι καὶ τὴν πεζὴν δύναμιν ἐμβιβάσαντες ἐπὶ τὴν διὰ τοῦ πορθμοῦ τοῦ μεταξὺ Βυζαντίου καὶ Χαλκηδόνος ἐχώρουν διάβασιν.

.... ἐπιδραμόντες δὲ (Νικομήδεια) Νίκαιαν καὶ Κίον καὶ Ἀπάμειαν καὶ Προῦσαν, .... ἀνεχώρησαν ὀπίσω, καὶ τὴν μὲν Νικομήδειαν ἐνέπρησαν καὶ τὴν Νίκαιαν, ἁμάξαις δὲ καὶ πλοίοις ἐμβαλόντες τὰ λάφυρα περὶ τὴν οἴκαδε ἐπάνοδον διενοοῦντο, καὶ τοῦτο τῆς δευτέρας ἐφόδου ποιησάμενοι τέλος.

Οὐαλεριανὸς δὲ πυθόμενος τὰ κατὰ τὴν Βιθυνίαν, στρατηγῷ μὲν οὐδενὶ τὴν κατὰ τῶν βαρβάρων ἄμυναν ὑπὸ ἀπιστίας ἐθάρρει καταπιστῶσαι, Φήλικα φυλάξοντα τὸ Βυζάντιον πέμψας.

....

Α. 260.